Ἐν στρώμασι Μιλησίοις
Ἀνατετραμμένος, κινῶν ὀρ-
χηστρίδ', εἶτ' ᾔτησεν ἀμίδ'· ἐ-
γὼ δὲ πρὸς τοῦτον βλέπων,
Τοῦ ῥεβίνθου δραττόμην, οὗ-
τος δ' ἅτ' ὢν αὐτὸς πανοῦργος,
Εἶδε, κἆτ' ἐκ τοῦ γνάθου
Πὺξ πατάξας μοὐξέκοψε τοὺς χοροὺς τοὺς προσ-
θίους.

A *In toris Milesiis*
*Inuolutus, subagitaret*
*Saltatricem, & posceret me*
*Matulam, & hæc ego videns,*
*Mentulam prehenderem: ille*
*Conspicatus hoc vafer, mox*
*Egenis, ori grauem*
*Pugnum impingens, exculpat mihi hos anterio-*
*res choros.*
B

Σχόλια. Ἐν στρώμασι Μιλησίοις.] ἐν γὰρ Μιλήτῳ καλὴ ἡ τῶν στρωμάτων ἐργασία. καὶ τὰ Μιλήσια στρώματα, ποικίλα, καὶ ἁπαλὰ γίνεται καὶ διάφορα. εἰς τρυφὴν δὲ οἱ Μιλήσιοι διαβάλλονται, καὶ εἰς τὸ στολῆς πολυτελές. ἐσθῆτές τ' ἐνταῦθα κατεσκευάζοντο ποικίλαι καὶ τάπητες, ὡς καὶ Θεόκριτος. πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνου, Α Μίλατος ἐρεῖ χὡ τὰν Σαμίαν καταβόσκων. ἀμίδα δὲ τὴν οὐρητρίδα τὸ οὐρηρὸν ἀγγεῖον. Ἐγὼ δὲ πρὸς τοῦτον.] ὁρῶν γὰρ ὁ Διόνυσος τῇ ὀρχηστρίδι συνιόντα C τὸν Ξανθίαν, καὶ ὥσπερ ἐρεθιζόμενος καὶ δραττόμενος τοῦ αἰδοίου φησίν, ἀντὶ τοῦ ἐμαυτοῦ. ὁ δὲ Ξανθίας ἅτε καὶ αὐτὸς ταῦτα ποιῶν ἐπάταξεν ἄν. Τοῦ ῥεβίνθου τοῦ αἰδοίου.] τὸ δὲ ὅλον ὡς ταῦτα τοῦ Ξανθίου ποιοῦντος, ἐπειδὰν διακονῇ τῷ Διονύσῳ. καὶ διὰ τοῦτο ἐπιγνόντες ἂν αὐτὰ εἰ ἀνὰ μέρος ἐποίει ὁ Διόνυσος. Τοὺς χοροὺς τοὺς προσθίους.] ἀντὶ τοῦ τοὺς ὀδόντας εἰπεῖν, τοὺς χοροὺς εἶπε. Διόνυσος γάρ ἐστιν ὁ τῶν χορῶν προστάτης. τὸ δὲ ὅλον παρὰ τὴν ὑπόνοιαν.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ τετάρτη.

## ACTVS II. SCENA quarta.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ, ΠΛΑΘΑΝΗ, ΞΑΝΘΙΑΣ, ΔΙΟΝΥΣΟΣ.

D PANDOCEVTRIA, PLATHANA, XANTHIAS, BACCHVS.

BISETVS. Πανδοκεύτρια, καὶ Πλαθάνη τὸν Διόνυσον ἐκ τοῦ σχήματος Ἡρακλέα εἶναι ἡγησάμεναι, περὶ τῆς αὐτοῦ λαιμαργίας, καὶ κλεμμάτων πολλὰ διηγοῦνται, καὶ τὴν αὐτοῦ παρουσίαν βαρέως φέρουσι.

Πα. Πλαθάνη, Πλαθάνη, δεῦρ' ἔλθ' ὁ πανοῦρ-
γος οὑτοσί,
Ὃς εἰς τὸ πανδοκεῖον εἰσελθών ποτε,
Ἑκκαίδεκ' ἄρτους κατέφαγεν ἡμῶν. Πλα. νὴ Δία
Ἐκεῖνος αὐτὸς δῆτα. Ξαν. κακὸν ἥκει τινί.
Πα. Καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκο-
σιν,
Ἀνημιωβολιαῖα. Ξα. δώσει τις δίκην.
Πα. Καὶ τὰ σκόροδα τὰ πολλά. Δι. ληρεῖς ὦ
γύναι,
Κοὐκ οἶσθ' ὅ, τι λέγεις. Πλα. οὐ μὲν οὐκ ᾤου με προσ-
δόκας
Ὁτιὴ κοθόρνους εἶχες, ἀναγνῶναί σ' ἔτι;
Πα. Τί δαί; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω,
Μὰ Δί', οὐδὲ τὸν τυρόν γε τὸν χλωρὸν τάλαν.
Ὃνπερ σὺν αὐτοῖσι τοῖς ταλάροις κατήσθιε.
Κἄπειτ', ἐπειδὴ τἀργύριον ἐπραττόμην,
Ἔβλεψεν εἰς ἐμὲ δριμὺ, κἀμυκᾶτό γε

*PA. Plathana, Plathana: huc aduenit versipellis hic,*
*Qui olim tabernam ingressus diuersoriam,*
E *Comedit sedecim panes nostros.* PL. *per Iouem*
*Is ipse est.* XA. *aliquid imminet cuidam hic mali.*
*PA. Et elixatas carnes viginti insuper,*
*Haudquaquam semiobolares.* XA. *aliquis luet*
*Pœnam.* PA. *& multa allia.* BA. *mulier nugas agis:*
*Neque scis, quid garrias.* PL. *quia cothurnos geris*
F *Scilicet: ideo agnituram te non amplius*
*Sperabas.* PA. *quid? nondum elocuta sum tibi*
*Tot salsamenta: non recentem caseum,*
*Quem cum canistro deuorauit improbus.*
*Post, vbi ab illo argentum exegissem symboli*
*Loco, toruum intuitus me est, atque emugiit.*

G

Σχόλια. Πλαθάνη, Πλαθάνη.] κορωνὶς ὁμοία εἰσιόντων τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μα', ὧν τελευταῖος, δέχομαι τὸν ὅρκον κἀπὶ τούτοις λαμβάνω. Πανδοκεύτρια δὲ πρὸς Πλαθάνην θεράπαιναν τοῦτο λέγει. εἰσάγει δὲ Ἡρακλέα νῦν βεβροκότα τι. ἀνημιωβολιμαῖα δὲ ἀντὶ τοῦ ἕκαστον αὐτῶν, ἥμισυ ὀβολοῦ ὤν. ἄξιον ἡμιωβολιαίου. ἢ ὠμὰ ὄντα κατὰ τὰ ἥμισυ. ἄλλως. ὅτι ἰδίως ἐπὶ τοῦ ἀνημιωβολίου πεπλασμένα. ἀπὸ δὲ συντάξεως, ὄνομα γίνεται καλὸς καὶ ἀγαθὸς, καλοκαγαθία. θεοῖς ἐχθρὸς, θεοεχθρία, ἀνημιωβόλιον, ἀνημιωβολιαῖα. δηλοῖ δὲ ἡμιωβόλου ἄξια. ἐπισημειοῦσθαι δὲ τὴν λέξιν ἔδει τὸ χ. Ἀνάβραστα δὲ,] ζεστὰ ἑψημένα.

BISETVS. Ἀνημιωβολιαῖα] ἀντὶ τοῦ, ἕκαστον αὐτῶν